


...nis ... et augmentum nobis
tribue proventis ... p. Co.
Amen dico vobis quia vos qui... Cplcn.
Da quaesumus domine fidelibus populis omnium
sanctorum tuorum semper veneratione
letari. et eorum perpetua supplicatione
muniri. P. Quaesumus omnipotens deus Scp.
ut qui celestia alimenta percepimus
intercedente beato cesario martyre tuo.
per hec contra omnia adversa muni-
amur. P. De claudio nycostrato r.
Presta quaesumus col. Clamaverunt iusti
omnipotens deus ut qui gloriosos
martyres tuos claudium nycostratum
symphorianum castorium atque sim...

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0002-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0003-2

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0004-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0006-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0007-5

UNIV.-U. LANDESBIBLIOTHEK * HALLE (SAALE)
AB 113 723
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0008-0

# DIONIS CHRY-
# SOSTOMI

Elegantes & perbreues orationes duæ:
altera de Philoſophia,
altera de Philoſopho.

Αφωνον ἔργον κρεῖσσον
ἀπράκτου λόγου.



HELMAESTADII,
in acad. Iulia. typis Iacobi Lucij.
Kal. Aprilis. CIↃ. IↃ. C.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0009-9

Νήπιος ὑψηλῇσιν ἐπωνυμίῃσι γεγηθώς
ὥσθ' ὃ ἀφραδέως κρείσσοσιν ἰσοπαλῇ,
Οὐ προσέχων τὸν νοῦν τοῖς πράγμασιν ἠδ' ἀρετῇσι,
ἐν ζωῇ ὑγιὲς τῶν ἅπερ οὐδὲν ἔφυ.
Εἰ δὲ φρονεῖν μέμαας, σοφίης τ' εἰς ἄκρον ἱκέσθαι,
ἠδ' εὐεργεσίης σὴν πατρίδ' ὠφελέειν,
Πρῶτα μὲν ἀγνοίας, κακίης μετέπειτα δ' ἀποδρὰς
Θρέξον ἀγακλειτῆς τὸν ἀρετῆς στάδιον,
Ὥς κεν ἀνὴρ χρηστὸς καὶ πᾶσι γένοιο ποθεινός,
Ζῶν μὲν τοῖς ἑτάροις, ὀψιγόνοις δὲ θανών.

Ioannes Potinius.

## ΠΕΡΙ ΦΙΛΟΣΟΦΙΑΣ.

Φέρε, εἴ τινος ἀκούοις λέγοντος, ὅτι βούλεται γεωργεῖν, μηδὲν δὲ πρὸς τοῦτο πράττοντα ὁρῴης αὐτόν, μήτε βόας ὠνούμενον, ἢ τρέφοντα, μήτε ἄροτρα κατασκευαζόμενον, μήτε τὰ ἄλλα τὰ πρὸς τὴν γεωργίαν σκεύη, μηδὲ ἐνοικοῦντα ἐν ἀγρῷ αὐτόν, ἢ αὐτὸν μὴ κεκτημένον παρ' ἄλλου μισθωσάμενον, ἀλλὰ ἐν ἄστει τὰ πολλὰ διατρίβοντα περὶ τὴν ἀγοράν, καὶ τὸ γυμνάσιον, καὶ περὶ πότους ὄντα καὶ ἑταίρας, καὶ τὴν τοιαύτην ῥᾳθυμίαν· πότερον προσέξεις οἷς λέγει μᾶλλον, ἢ τοῖς πραττομένοις ὑπ' αὐτοῦ; καὶ πότερον φήσεις γεωργὸν εἶναι τὸν ἄνθρωπον καὶ ἐργάτην, ἢ τῶν ἀργῶν καὶ ῥᾳθύμων; δηλονότι τῶν ἀργῶν. εἶεν. Εἰ δὲ κυνηγέτης εἶναι λέγοι τις, καὶ τὸν Ἱππόλυτον αὐτὸν, ἢ Μελέαγρον ὑπερβάλλῃ τῇ τε ἀνδρείᾳ καὶ φιλοπονίᾳ, μηδὲν δὲ φαίνοιτο πράττων ὅμοιον, μήτε κύνας κεκτημένος, μήτε λίνα, μήτε ἵππον, μήτε ὅλως ἐπὶ θήραν ἐξιών, ἀλλὰ μηδὲ ὑπὸ ἡλίου τὸ σῶμα ἐπικεκαυμένος, μήτε ψύχους ἀνέχεσθαι δυνάμενος, ἐσκιατραφημένος δὲ καὶ ἁπαλός, καὶ μάλιστα ἐοικὼς ταῖς γυναιξίν· ἔσθ', ὅπως ἂν ὑπολάβοις τ' ἀληθῆ λέγειν τοῦτον, καὶ προσήκειν τι αὐτῷ κυνηγεσίων; οὐκ ἔμοιγε. ἄτοπον γὰρ ὑπὸ τῶν λόγων μᾶλλον, οὓς λέγοι τις, ἢ ἀπὸ τῶν ἔργων εἰδέναι καὶ τεκμαίρεσθαι τὸν ἑκάστου βίον. Εἰ δέ τις ἐπαγγέλλοιτό τι, ὡς μουσικὴν ἄριστα ἐπιστάμενος, καὶ περὶ τοῦτο διατρίβων, μήτε γὰρ αὐτοῦ κιθαρίζοντος μηδεὶς πώποτε ἀκούσαι, ἀλλὰ μηδὲ κιθάραν ἢ λύραν ἔχοντα ὁρῴη τις, μηδὲ λόγον τινὰ ἐξιόντα τῶν κατὰ μουσικήν, δίχα γε τῆς ἐπαγγελίας καὶ τοῦ ἐπίστασθαι φάσκειν ποτὲ τοῦ Ὀρφέως ἄμεινον, καὶ τοῦ Θαμύρεως, βλέποι δὲ αὐτὸν ἀλεκτρυόνας, ἢ ὄρτυγας θεραπεύοντα, καὶ τρέφοντα, καὶ μετὰ τῶν τοιούτων ἀνθρώπων ὡς τὸ πολὺ διατρίβοντα· πότερον τῶν μουσικῶν τοῦτον δεῖ ὑπολαμβάνειν, ἢ τούτων τῶν ἀνθρώπων, μεθ' ὧν ἐστί, καὶ οἷς ταῦτα ἐπιτηδεύει; δηλονότι τούτων. Ἐὰν δὲ ἀστρονόμος εἶναί τις ὑπόσχηται, καὶ σαφέστατα ἐπίστασθαι τὰς περιόδους

καὶ πορείας, καὶ τὰ ἀποστήματα, πῶς ἔχουσι πρὸς ἄλληλα, ἡλίου τε καὶ σελήνης, καὶ τῶν τοιούτων ἄστρων, καὶ τὰ οὐράνια πάθη, μηδὲν δὲ τοιοῦτον ἢ προειδὼς, μηδὲ περὶ ταῦτα φροντίζων, ἀλλὰ μᾶλλον σὺν τοῖς κυβεύουσι, καὶ μετ' ἐκείνων ἑκάστοτε ζῶν καὶ βλεπόμενος, ἀστρονόμον τοῦτον φήσεις, ἢ κυβευτήν; οὐ μὰ τὸν Δία, ἀστρονομίας ἡγησάμην ἂν ἔγωγε προσήκειν αὐτῷ, πολὺ δὲ μᾶλλον κυβείας. Δύο δέ τινων, τοῦ μὲν λέγοντος, ὅτι πλευσεῖται τὴν ταχίστην, καὶ πολλὰ κερδανεῖ χρήματα ἀπὸ ἐμπορίας, μήτε δὲ ναῦς, μήτε δὲ ναύτας παρεσκευασμένου, μηδὲ φόρτον ἔχοντος μηδὲν, ἀλλὰ μηδὲ προσιόντος ὅλως τῷ λιμένι, μηδὲ τῇ θαλάττῃ, τοῦ δὲ πραγματευομένου περὶ ταῦτα, καὶ πλοῖον περισκοποῦντος καὶ κυβερνήτην, καὶ χρήματα ἐμβαλλομένου· πότερον αὐτοῖν φήσεις ἐμπορίᾳ προσέχειν τὸν νοῦν; τὸν λέγοντα μὲν, ἧττον δὲ πράττοντα, ἢ τὸν παρασκευαζόμενον τὰ τοῦ πλοῦ καὶ τὰ τῆς ἐμπορίας; ἐγὼ μὲν οὖν τοῦτον. ἐπὶ παντὶ ἄρα τὸν μὲν λόγον, εἰ καθ' αὑτὸν λέγοιτο μηδὲν ἔχων περὶ τοῦ προσόντος, ἄκυρον ἡγήσῃ καὶ οὐ πιστόν· τὸ δὲ ἔργον αὐτὸ πιστόν τε, καὶ ἀληθὲς, ἐὰν καὶ μὴ προσάγῃ λόγους; οὕτως. Πότερον οὖν, γεωργίας εἶναί τινα ἔργα καὶ σκεύη, ἢ ναυτιλίας, καὶ τῷ κυνηγέτῃ προσήκοντα, καὶ τῷ ἀστρονόμῳ, καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασιν οἰητέον; φιλοσοφίας δὲ οὐδέν ἐστιν οἰκεῖον ἔργον, οὐδὲ πρᾶγμα, οὐδὲ παρασκευή; πάνυ μὲν οὖν. ἀλλὰ ταῦτα μὲν ἄδηλα, τὰ προσήκοντα τῷ φιλοσόφῳ καὶ φιλοσοφίᾳ· τῶν δὲ τῶν ἐμπόρων, καὶ γεωργῶν καὶ μουσικῶν, καὶ ἀστρονόμων, καὶ ὧν δὴ νῦν εἶπον, ἔκδηλα καὶ φανερά; ἔμοι δοκεῖ, ἀλλὰ δὴ καὶ λόγοι τινές εἰσιν, οὓς δεῖ τὸν φιλοσοφοῦντα ἀκούειν, καὶ μαθήματα, ἃ δεῖ μανθάνειν, καὶ δίαιταν, ἣν δεῖ διαιτᾶσθαι, καὶ καθόλου βίος ἄλλος μὲν τοῦ φιλοσοφοῦντος, ἄλλος δὲ τῶν πολλῶν ἀνθρώπων· ὁ μὲν πρὸς ἀλήθειαν καὶ φρόνησιν τείνων, καὶ θεῶν ἐπιμέλειαν, καὶ θεραπείαν τῆς αὑτοῦ ψυχῆς, καὶ μακρὰν ἀλαζονείας, καὶ ἀπάτης καὶ τρυφῆς, εὐτέλειάν τε καὶ σωφροσύνην. καὶ γὰρ στολὴ ἑτέρα μὲν τοῦ φιλοσοφοῦντος, ἑτέρα δὲ τῶν ἰδιωτῶν, καὶ κατακλίσεις, καὶ γυμνάσια, καὶ λουτρὰ, καὶ ἡ ἄλλη δίαιτα· καὶ τὸν μὲν ἀκολουθοῦντα καὶ τῶν χρώμενον τούτοις, δεῖ νομίζειν ὡς φιλοσοφίᾳ προσέχοντα τὸν νοῦν· τὸν δὲ ἐν μηδενὶ τούτων διαφέροντα, μηδὲ ὅλως ἕτερον ὄντα τῶν πολλῶν, ἕνα ἐκείνων

κείνων

κείνων θετέον, κἂν μυριάκις εἴπῃ τε καὶ ἀπαγγέλληται φιλοσοφεῖν, ἐναντίον τοῦ δήμου τῶν Ἀθηναίων, ἢ Μεγαρέων, ἢ παρὰ τοῖς Λακεδαιμονίων βασιλεῦσιν, ἀλλ' ὠστέον τοῦτον τὸν ἄνθρωπον εἰς τοὺς ἀλαζόνας καὶ ἀνοήτους, καὶ τρυφερούς. καί τοι μουσικὸν μὲν, οὐκ ἀδύνατον, εἶναι μὴ πράττοντα τὰ τοῦ μουσικοῦ. ἡ γὰρ μουσικὴ οὐκ ἀναγκάσει προσέχειν αὐτῇ τὸν νοῦν, καὶ μηδὲν ἄλλο ποιεῖσθαι περὶ πλείονος· καὶ ἀστρονόμον ὄντα οὐδὲν ἴσως κωλύει τρέφειν ἀλεκτρυόνας, ἢ κυβεύειν. οὐδὲν γὰρ ἡ ἀστρονομία ἐμποδών ἐστι τῷ μὴ τὰ δέοντα ποιεῖν· καὶ νὴ Δία ἱππικὸν γενόμενον, ἢ κυβερνήτην ἀγαθὸν, ἢ γεωμέτρην, ἢ γράμματα εἰδότα οὐδὲν θαυμαστὸν, ἢ παρὰ ταῖς ἑταίραις, ἢ ταῖς αὐλητρίσιν ὁρᾶσθαι. τὸ γὰρ ταῦτα ἐπίστασθαι, οὐδὲν ποιεῖ βελτίω τὴν τοῦ ἀνθρώπου ψυχὴν, οὐδὲ ἀποτρέπει τῶν ἁμαρτημάτων. φιλοσοφίᾳ δὲ προσέχων τις, καὶ μεταλαχὼν τούτου τοῦ μαθήματος, οὐκ ἄν ποτε ἀποσταίη τῶν βελτίστων, οὐδὲ τούτων ἀμελήσας, αἰσχρόν τι καὶ φαῦλον προέλοιτ' ἂν πράττειν, οὐδὲ ἀργεῖν καὶ ὀψοφαγεῖν, καὶ μεθύσκεσθαι. Τὸ γὰρ μὴ ταῦτα θαυμάζειν, καὶ τὴν τούτων ἐπιθυμίαν ἐξαιρεῖν τῆς ψυχῆς, καὶ τοὐναντίον εἰς μῖσος αὐτῶν καὶ κατάγνωσιν προάγειν, φιλοσοφία ἐστί· τὸ δέ γε φῆσαι καὶ ἀλαζονεύεσθαι, καὶ αὑτὸν ἐξαπατῆσαι, καὶ τοὺς ἄλλους, οὐδὲν ἴσως κωλύει.

## ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ.

Εἰσὶν, οἵ φασι δεῖν πάντα ἐν πᾶσιν εἶναι περιττὸν, καὶ ὁμιλῆσαι ἀνθρώποις, φασὶ, δεῖν εἶναι δεινότατον, καὶ μηδέποτε σιγᾶν, μηδὲ ἀπορεῖν λόγων τοιούτων πρὸς τοὺς παρόντας, οἳ δυνήσονται τέρπειν αὐτούς· εἰ δὲ μὴ, φασὶν ἰδιώτην εἶναι, τὸν μὴ παρεσκευασμένον οὕτως, καὶ ὀλίγου ἄξιον. Ἐγὼ δέ φημι, τὰ μὲν δίκαια καὶ ἀληθῆ λέγειν αὐτοὺς, τὰ δὲ οὔ. Τὸ μὲν γὰρ διαφέρειν πανταχοῦ τὸν φιλόσοφον τῶν ἄλλων, δοκοῦσιν ὀρθῶς ἀξιοῦν· πλὴν εἰ μή τι καὶ τὰς τέχνας φασὶ δεῖν αὐτὸν ἁπάσας εἰδέναι, καὶ

βέλτιον κατὰ τὴν τέχνην ἅπαντα ποιεῖν τῶν δημιουργῶν, οἰκίας τε οἰκοδομούμενον, καὶ πλοῖα ναυπηγούμενον, καὶ χαλκεύοντα, καὶ ὑφαίνοντα, καὶ γεωργοῦντα· ὥσπερ ὁ Ἠλεῖος Ἱππίας ἠξίου, σοφώτατος εἶναι τῶν Ἑλλήνων, οὐ μόνον ποιήματα παντοδαπὰ, καὶ λόγους αὐτοῦ ποικίλους προφέρων, ὀλυμπίασι τε καὶ ἐν ταῖς ἄλλαις πανηγύρεσι τῶν Ἑλλήνων, ἀλλὰ καὶ ἄλλα ἐπιδεικνὺς ἔργα, τόν τε δακτύλιον, καὶ τὴν λήκυθον, καὶ στλεγγίδα, καὶ ἱμάντα, καὶ τὴν ζώνην, ὡς ἅπαντα πεποιηκὼς αὐτὸς, ὥσπερ ἀπαρχὰς τῆς σοφίας τοῖς Ἕλλησιν ἐπιδεικνύων. σχεδὸν δὲ καὶ Ὅμηρος Ὀδυσσέα πεποίηκεν, οὐ μόνον γνώμῃ διαφέροντα, καὶ τῷ δύνασθαι περὶ πραγμάτων βουλεύσασθαι, καὶ λέγειν δεινότατα, ἔν τε πλήθει, καὶ πρὸς ὀλίγους, καὶ πρὸς ἕνα, καὶ νὴ Δία γε ἐν ἐκκλησίᾳ τε, καὶ παρὰ πότον, καὶ εἰ τύχοι, μετά τινος βαδίζων ὁδὸν, καὶ πρὸς βασιλέα, καὶ πρὸς ἰδιώτην, καὶ πρὸς ἐλεύθερον, καὶ πρὸς δοῦλον, καὶ πρὸς ἔνδοξον ὄντα καὶ βασιλέα· καὶ αὖ πάλιν ἀγνοούμενον καὶ πτωχὸν, καὶ πρὸς ἄνδρα τε ὁμοίως, καὶ γυναῖκα, καὶ κόρην· ἔτι δὲ μάχεσθαι ἐπιστάμενον, ἀλλὰ καὶ τῶν τοιούτων ἁπάντων ἔμπειρον, καὶ τεκτονικῆς, καὶ οἰκοδομίας, καὶ ναυπηγικῆς. Πῶς γὰρ ἂν τὸ λέχος ἐποίησεν, ἀποκόψας τόνγε τῆς ἐλαίας θαλλὸν, εἰ μὴ καὶ τεκτονικῆς ἐπιστήμων ἦν; πῶς δ' ἂν περιεβάλλετο θάλαμον, εἰ μὴ καὶ οἰκοδομῆσαι ἐπίστατο; πῶς δ' ἂν εἰργάσατο τὴν σχεδίαν, οὐκ ὢν ἔμπειρος ναυπηγίας; τὰ δὲ περὶ φυτείαν καὶ γεωργίαν, εὐθὺς ἐκ παίδων ἐσπουδακὼς φαίνεται, παρὰ τοῦ πατρὸς δένδρα ζητῶν καὶ ἀμπέλους· ἄλλως τε καὶ τοῦ πατρὸς γεωργοῦ ὄντος, πάνυ ἐπιμελοῦς τε καὶ ἐμπείρου, εἰκὸς ἦν αὐτὸν ταῦτα μὴ ἀγνοεῖν· ὅπου γε καὶ προκαλεῖται τὸν Εὐρύμαχον, καὶ ἀμῆσαι καὶ ἀρόσαι· ἀλλά φησι καὶ τῶν τοιούτων ἔμπειρος εἶναι, μαγειρικῆς τε καὶ οἰνοχοΐας, καὶ τῆς ἄλλης ἁπάσης διακονίας, ἅ φησι τοὺς χείρονας τοῖς ἀγαθοῖς διακονεῖσθαι. Ταῦτα μὲν οὖν ἴσως Ἱππίας καὶ Ὀδυσσεὺς δεινὼ ἤστην· ἐγὼ δέ φημι, τὸν φιλόσοφον τὰς μὲν τέχνας οὐχ οἷόν τε εἶναι πάσας εἰδέναι (χαλεπὸν γὰρ καὶ μίαν ἀκριβῶς ἐργάσασθαι) ποιῆσαι δ' ἂν ἅπαντα βέλτιον, ὅτι ἂν τύχῃ ποιῶν, τῶν ἄλλων ἀνθρώπων, καὶ τὰ κατὰ τὰς τέχνας, ἂν ἄρα ἀναγκασθῇ ποτε ἅψασθαι τοιούτου τινὸς, οὐ κατὰ τὴν τέχνην διαφέροντα. Τοῦτο γὰρ οὐχ οἷόν τε, τοῦ τέκτονος τὸν ἰδιώτην ἄμεινον

ποιῆσαι

ποιῆσαί τι κατὰ τὴν τεκτονικήν, ἢ τοῦ γεωργοῦ, τὸν οὐκ ὄντα γεωργίας ἔμπειρον ἐν τῷ ποιεῖν τι τῶν γεωργικῶν, ἐμπειρότερον φανῆναι. Πῶς δ' ἂν διαφέροι; τῷ συμφερόντως ποιεῖν ἢ μὴ ποιεῖν, καὶ ὅτε δεῖ, καὶ ὅπου, καὶ τὸν καιρὸν γνῶναι τοῦ δημιουργοῦ μᾶλλον καὶ τὸ δυνατόν. αὐτίκα οὐ δοκεῖ μοι Δαίδαλος καλῶς εἰργάσθαι ἐν Κρήτῃ τὸν λαβύρινθον, οὗ εἰσερχόμενοι ἀπώλλυντο οἱ πολῖται αὐτοῦ, καὶ αἱ πολίτιδες. οὐ γὰρ δικαίως εἰργάσατο συμπράττων τῇ νόσῳ τῆς Πασιφάης· οὐδὲ ὀρθῶς εἰργάσατο. οὐ γὰρ συνέφερεν, οὐδὲ ἦν δίκαιον· οὐδὲ καλὸν τοιαῦτα συμπράττειν οὐδὲ μηχανὰς εὑρίσκειν ἐπὶ τὰ αἰσχρὰ καὶ ἀνόσια· οὐδὲ ὡς τὸν Ἴκαρον ἐπτέρωσεν, εἰ χρὴ πιστεύειν τῷ μύθῳ, καλῶς ἐξευρεῖν φημι τήνδε τὴν μηχανήν. οὐ γὰρ δυνατὰ ἐμηχανᾶτο, πτέρυγας ἀνθρώπῳ προστιθείς. οὐκοῦν διέφθειρε τὸν υἱόν. ἔοικε δὲ καὶ Ὅμηρος λοιδορεῖν τινὰ τέκτονα τῶν Τρώων οὐ καλῶς ἐργασάμενον τὰς ναῦς τῷ Ἀλεξάνδρῳ, αἷς εἰσέπλευσεν εἰς τὴν Ἑλλάδα, οὐδὲν ἔχων αἰτιάσασθαι κατὰ τὴν τέχνην. φησὶ γάρ, Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας — Ἀρχεκάκους. οὐκ ἐγκωμιάζων αὐτὸν ἐν τῇ ποιήσει τῶν νεῶν, ἀλλὰ ψέγων πολὺ μᾶλλον, ἢ εἰ λέγων αὐτὸν ποιῆσαι τὰς ναῦς ἢ βραδείας, ἢ ἄλλο τι ἁμάρτημα ἐχούσας, ᾐτιᾶτο περὶ τὴν ναυπηγίαν. ψέγει δ' ὁμοίως καὶ κυνηγέτην τινά, καὶ καταγελᾷ τῆς ἐμπειρίας, ὅτι εἰς οὐδὲν δέον ἐκέκτητο αὐτήν, ἀλλὰ τὰ μὲν θηρία ἠπίστατο βάλλειν· ἐν δὲ τῷ πολέμῳ οὐκ ἐτύγχανεν οὐδενός, ἀλλ' ἀχρεῖος ἦν διὰ τὴν δειλίαν, καὶ οὔ φησιν αὐτῷ τότε βοηθῆσαι τὴν Ἄρτεμιν. Οὐκοῦν ἐκ τούτων δῆλον, ὅτι δεῖ φρονήσεως καὶ ἀρετῆς, καὶ πρὸς ἃ ἐπίστανται οἱ ἄνθρωποι, καὶ πρὸς ἃ οὐκ ἐπίστανται, καὶ οὕτως ἂν ἅπαντα διαφέροι πάντων ὁ σώφρων, οἷον χρὴ εἶναι τὸν φιλόσοφον, καὶ ποιῶν τι τούτων καὶ μὴ ποιῶν, κἂν ὁποσοῦν ποιῇ κατὰ τὴν τέχνην. ὃς δὲ τῶν ζωγράφων γράψει κρεῖττον οὐκ ὢν ζωγράφος, ἢ τῶν ἰατρῶν ἄμεινον θεραπεύσει κατὰ τὴν ἰατρικήν, οὐκ ὢν ἰατρός, ἢ τῶν μουσικῶν μουσικώτερον ᾄσεται, οὐκ ὢν ἔμπειρος μουσικῆς, ἢ μετρίως ἔμπειρος γεγονώς, ἢ τῶν ἀριθμητικῶν παρὰ τοὺς ἀριθμούς, ἢ τῶν γεωμετρῶν ἐμπειρότερος φανεῖται περὶ γεωμετρίαν, ἢ περὶ φυτείαν τῶν γεωργῶν, ἢ περὶ κυβερνητικὴν τῶν κυβερνητῶν, ἢ σφάζειν θᾶττον τῶν μαγείρων, ἢ διελεῖν

τὸν αὐτὸν

τῶν αὐτὸ τοῦτο ἔργον πεποιημένων, οὐ χρὴ διανοεῖσθαι. καί τοι τῶν νῦν βασιλέων τις ἐπιθυμεῖ σοφὸς εἶναι τὴν τοιαύτην σοφίαν ὡς πλεῖστα ἐπιστάμενος, οὐ μέν τοι τὰ τοιαῦτα, ἃ μὴ θαυμάζεται παρὰ τοῖς ἀνθρώποις, ἀλλ' ἐφ' οἷς στεφανωθῆναί ἐστι, κηρύττειν, καὶ ᾄδειν πρὸς κιθάραν, καὶ τραγῳδεῖν, καὶ παλαίειν, καὶ παγκρατιάζειν. φασὶ δὲ καὶ γράφειν καὶ πλάττειν ἱκανὸν αὐτὸν εἶναι, καὶ αὐλεῖν τῷ, τε στόματι καὶ ταῖς μασχάλαις ἀσκὸν ὑποβάλλοντα, ὅπως διαπεφευγὼς ᾖ τὸ αἰσχρὸν, τὸ τῆς Ἀθηνᾶς. οὐκοῦν ὑπῆρχε σοφός.

ΤΕΛΟΣ.

AB 113 723

ULB Halle 3
002 387 581

TA→a

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0017-0

Uno et prehem-

...ratur urin inde

...rū uestemuin.

...tunbas. offer

... Letamini.

...ferimus que p

...ta sint honore

...salutaria te

...nt. Per. ste secr

...e bti cesarij mar

...s meritis benig

cantatis tuis non recuaat ac
cepta. et nobis sacramentum redep
cionis efficiat. P. co Posuisti ...
O Celestibus refecti sacramentis pt.
tis et gaudiis supplices te domine
deprecamur: ut quorum gloriamur
triumphis protegamur auxiliis. P.
Theodori mr. Gloria et honore.
Deus qui nos beati theo Col.
dori martiris tui confessione glo
riosa circumdas et protegis: presta
nobis eius imitacione proficere
et oracione fulciri. P. Epl. Sermo
uilitas. gra Beatus uir. Ewn.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0018-6

# DIONIS CHRYSOSTOMI

Elegantes & perbreues orationes duæ:
altera de Philoſophia,
altera de Philoſopho.

Ἄφωνον ἔργον κρεῖσσον
ἀπράκτου λόγου.



HELMAESTADII,
in acad. Iulia. typis Iacobi Lucij.
Kal. Aprilis. CIↃ. IↃ. C.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215944-p0019-5